causa ad ipsum missus fuerat: sed supereminentes spicas demetendo segetem adæquasse. cuius causam cùm non intelligeret nuntius, ac factum ab eo narraret, intellexisse Thrasibulum, quòd oportebat supereminentes ciues auferre. Hoc autem nec prodest solum tyrannis, nec solum faciunt tyranni, sed & in paucorum potentia, & in populari statu similiter se habet. Ostracismus enim eãdem quodammodo vim habet, tollendo eos qui supereminent, & in exilium pellendo. Hoc idem & in ciuitatibus & in gentibus faciũt qui dominantur, velut Athenienses circa Samios & Chios & Lesbios. quamprimum enim imperium firmiter habuerunt, eos in multis pessundarunt contra fœderis æquitatem. Persarum autem rex Medos, & Assyrios, & alios qui magnum aliquid de ipsis sapiebant ob imperium prius habitum, sæpe contriuit. Quæstio autem proposita circa omnes est rerumpublicarum species vniuersaliter, & quæ sunt rectæ. nam illæ quæ transgrediũtur, ad propriam respicientes vtilitatem, hoc agunt, quinimo & illæ quæ ad cõmune respiciunt bonum, eodem modo se habent. Patet hoc in aliis quoque artibus & scientiis. neque enim pictor pedem mensuram excedentem, animal habere pateretur, quanuis pulcherrimus ille pes esset: neque nauiũ faber prorã, aut aliam partem nauis: neque certè magister chori eum, qui pulchriorẽ ac meliorem toto choro vocem emittit, sinet in choro esse. Itaq. ob hoc quidẽ nil prohibet eos qui domini sunt, conuenire cum ciuitatibus, si propriæ dominationis gratia quæ ciuitatibus vtilis sit, id agant. Quare secundum eas quas confitemur superexcellentias, quandam habet vtilitatem ratio illa, per quã ostracissimus fuit repertus. Melius tamẽ foret sic ab initio per legis conditorem prouideri, vt respublica non indigeret tali medicina, secundo autem loco, siquid tali accidat, conandum est tali aliquo remedio corrigere: quod tamen factum non est à ciuitatibus. non enim respexerũt ad commodum publicum, sed per seditionem vsi sunt ciuili pulsione. In his igitur speciebus gubernandi, quæ lapsæ sunt, quod ad priuatum commodum pertinet ac iustum est, patet, forsan autem non simpliciter iustum: & hoc est manifestum. Sed in optima republica magna habetur dubitatio, si non per excellentiam aliorum bonorum,

A τῶν σταχύων, ὁμαλιῶσαι τὴν ἄρουραν· ὅθεν
ἀγνοοῦντος μὲν τοῦ κήρυκος τοῦ γινομένου τὴν
αἰτίαν, ἀπαγγείλαντος δὲ τὸ συμπεσὸν, συννοῆσαι τὸν Θρασύβουλον, ὅτι δεῖ τοὺς ὑπερέχοντας ἄνδρας ἀναιρεῖν. τοῦτο γὰρ οὐ μόνον
συμφέρει τοῖς τυράννοις, οὐδὲ μόνον οἱ τύραννοι ποιοῦσιν· ἀλλ' ὁμοίως ἔχει καὶ περὶ
τὰς ὀλιγαρχίας, καὶ τὰς δημοκρατίας. ὁ γὰρ
ὀστρακισμὸς τὴν αὐτὴν ἔχει δύναμιν τρόπον
B τινὰ τῷ κολούειν τοὺς ὑπερέχοντας καὶ φυγαδεύειν. τὸ δ' αὐτὸ καὶ περὶ τὰς πόλεις καὶ τὰ
ἔθνη ποιοῦσιν οἱ κύριοι τῆς δυνάμεως· οἷον
Ἀθηναῖοι μὲν περὶ Σαμίοις, καὶ Χίοις, καὶ Λεσβίοις· ἐπεὶ γὰρ θᾶττον ἐγκρατῶς ἔσχον τὴν ἀρχὴν, ἐταπείνωσαν αὐτοὺς παρὰ τὰς συνθήκας· ὁ δὲ Περσῶν βασιλεὺς Μήδοις καὶ Βαβυλωνίοις καὶ τῶν ἄλλων τοῖς πεφρονηματισ-
C μένοις, διὰ τὸ γενέσθαι ποτ' ἐπ' ἀρχῆς, ἐπέκοπτε πολλάκις. τὸ δὲ πρόβλημα καθόλου περὶ πάσας ἐστὶ τὰς πολιτείας, καὶ τὰς ὀρθάς. αἱ μὲν γὰρ παρεκβεβηκυῖαι, πρὸς τὸ ἴδιον ἀποσκοποῦσαι, τοῦτο δρῶσιν· οὐ μὴν ἀλλὰ περὶ τὰς τὸ κοινὸν ἀγαθὸν ἐπισκοπούσας, τὸν αὐτὸν ἔχει τρόπον. δῆλον δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν, καὶ ἐπιστημῶν. οὔτε γὰρ γραφεὺς ἐάσειεν ἂν τὸν ὑπερβάλλοντα πόδα τῆς συμμε-
D τρίας ἔχειν τὸ ζῶον, οὐδ' εἰ διαφέροι τὸ κάλλος· οὔτε ναυπηγὸς πρύμναν, ἢ τῶν ἄλλων τι μορίων τῶν τῆς νεώς· οὐδὲ δὴ χοροδιδάσκαλος τὸν μεῖζον καὶ κάλλιον τοῦ παντὸς χοροῦ φθεγγόμενον ἐάσῃ συγχορεύειν. ὥστε διὰ τοῦτο μὲν οὐδὲν κωλύει τοῖς μονάρχοις συμφωνεῖν ταῖς πόλεσιν, εἰ τῆς οἰκείας ἀρχῆς ὠφελίμου ταῖς πόλεσιν οὔσης, τοῦτο δρῶσι. διὸ
E κατὰ τὰς ὁμολογουμένας ὑπεροχὰς, ἔχει τι δίκαιον πολιτικὸν ὁ λόγος ὁ περὶ τὸν ὀστρακισμόν. βέλτιον μὲν οὖν τὸν νομοθέτην ἐξ ἀρχῆς οὕτω συστῆσαι τὴν πολιτείαν, ὥστε μὴ δεῖσθαι τοιαύτης ἰατρείας· δεύτερος δὲ πλοῦς, ἂν συμβῇ, πειρᾶσθαι τοιούτῳ τινὶ διορθώματι διορθοῦν. ὅπερ οὐκ ἐγίνετο περὶ τὰς πόλεις. οὐ γὰρ ἔβλεπον πρὸς τὸ τῆς πολι-
F τείας τῆς οἰκείας συμφέρον, ἀλλὰ στασιαστικῶς ἐχρῶντο τοῖς ὀστρακισμοῖς. ἐν μὲν οὖν ταῖς παρεκβεβηκυίαις πολιτείαις, ὅτι μὲν ἰδίᾳ συμφέρει καὶ δίκαιόν ἐστι, φανερόν. ἴσως δὲ καὶ ὅτι οὐχ ἁπλῶς δίκαιον, καὶ τοῦτο φανερόν· ἀλλ' ἐπὶ τῆς ἀρίστης πολιτείας ἔχει πολλὴν ἀπορίαν, οὐ κατὰ τῶν ἄλλων ἀγαθῶν τὴν ὑπεροχὴν, ἀλλ' ἵ-